24-08- ΟΡΘΡΟΣ
Μετακομιδῆς
Ἱ. Λειψάνου ἁγ. ΔΙΟΝΥΣΙΟΥ
ἀπὸ Στροφάδων εἰς Ζάκυνθον
(Ψαλλομένη τῇ 24η Αὐγούστου)

Μετὰ τὸν Ἑξάψαλμον,...
Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις
Ὅτι πρέπει σοι πᾶσα δόξα...
Ἦχος α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

ΑΠΟΛΥΤΙΚΙΑ
Ἀπολυτίκιον.
Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Δεῦτε πάνταις ἐν ᾠδαῖς εὐφημήσωμεν, τὴν τοῦ πανιέρου λειψάνου Διονύσιου τοῦ μάκαρος, ἐπάνοδον· καὶ γὰρ οἷα φωστήρ, δύνας θεσμοῖς τοῖς φυσικοῖς, ὑπὸ γῆν αὖθις τῷ κόσμῳ, ἀγλαῶς ἐξανέτειλε. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ χορηγοῦντί σοι διδόναι πᾶσι δαψιλῶς, θαυμάτων τὰ σελαγίσματα.

Δόξα. Ἦχος α΄ Ὅμοιον.

Τῆς Ζακύνθου τὸν γόνον καὶ Αἰγίνης τὸν πρόεδρον, τὸν φρουρὸν Μονῆς τῶν Στροφάδων, Διονύσιον ἅπαντες, τιμήσωμεν συμφώνως οἱ πιστοί, βοῶντες πρὸς αὐτὸν εἰλικρινῶς· σαῖς λιταῖς τοὺς τὴν σὴν μνήμην ἐπιτελοῦντας, σῷζε καὶ βοῶντάς σοι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, πρέσβυν ἀκοίμητον.

Καὶ νῦν... Θεοτοκίον

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυῒδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις
Ὅτι σὸν τὸ κράτος...

Καθίσματα
Μετὰ τὴν α΄ Στιχολογίαν,
Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Εὐφραίνεται λαμπρῶς, Ζακυνθίων τὰ στίφη, λειψάνου σου σεπτοῦ, μεταθέσει καὶ οἶκον, ἐγείραντες ἔνδοξον, ἐν αὐτῷ ἀθροιζόμενοι, ὕμνοις μέλπομεν, τὴν παναγίαν σου μνήμην, Διονύσιε, καὶ σὸν πάντιμον σκῆνος, πιστῶς ἀσπαζόμεθα.

Δόξα. Ὅμοιον.

Ψυχῆς τὸ καθαρόν, ἐγνωκὼς ὁ Δεσπότης, ἀνήγαγε σοφέ, ἐπὶ θρόνου Αἰγίνης, ἐφ' ᾧ περιέλαμψας, ὡς πολύφωτος ἥλιος, ἀπωθούμενος, ἀμπλακημάτων τὸν ζόφον, ἐκ τῆς ποίμνης σου, σαῖς ἀστραπαῖς ἣν καὶ ἦγες, πρὸς φῶς τὸ ἀνέσπερον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἀσπόρως τὸν Χριστόν, ἀπεκύησας μόνη, τὸ θαῦμα ὑπὲρ νοῦν! πῶς Παρθένος καὶ Μήτηρ! Διὸ Θεοτόκον Σε, προσκυνοῦντες δοξάζομεν. Σὺ γὰρ ἔτεκες, τὸν Βασιλέα ἁπάντων, Ὃν δυσώπησον, τοῦ εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β' Στιχολογίαν,

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἀποῤῥίψας νουνεχῶς, τύρβην τοῦ βίου ἀληθῶς, ἐπορεύθης ἀκλινῶς, τρίβον τῶν θείων ἐντολῶν, ἐν τῇ Μονῇ δὲ φθάσας τῆς Ἀναφωνητρίας, διῆγες ἐν αὐτῇ, ἀγγελικὴν βιοτήν, καθάρας ὀπτικόν, ψυχῆς σου πάντιμε, ἑώρας τὰ κρυπτὰ Πνεύματος χάριτι, τῷ Παγκρατίῳ θύτῃ φανερούμενος, παρόραμα ἀγνοούμενον, καὶ μετὰ πότμον, θεῖόν σκῆνος πᾶσι βρύει ἰάματα.

Δόξα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Σήμερον Ζάκυνθος, δῶρον θεόσδοτον, τὸ θαυματόβρυτον, σκῆνος τοῦ μάκαρος, ἀναλαβοῦσα χαρμονῆς, ἀπείρου κατεπληρώθη. Δεῦτε οὖν φιλέορτοι, εὐλαβῶς ἀσπασώμεθα, καὶ ἀναβοήσωμεν· Ὦ Τρισάγιε Κύριε, ταῖς Διονυσίου πρεσβείαις, ῥῦσαι κολάσεως τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὅμοιον. Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τὶ δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον,

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τῇ ἀσκήσει κοσμούμενος ἱερῶς, καὶ ἁγνείᾳ λαμπόμενος καθαρῶς, ἔθυες τῷ Κτίστῃ σου, προσφορὰν τὴν ἀναίμακτον, Μελχισεδὲκ ὡς πάλαι, εἰς κόσμου ἐξίλασμα, ὡς Ἱεράρχης θεῖος, σοφὲ Διονύσιε· ὅθεν μετὰ πότμον, ὥσπερ ζῶν τὰς ἰάσεις, παρέχεις ἑκάστοτε, τοῖς ἐν πίστει προστρέχουσιν, ἐν τῷ θείῳ τεμένει σου, καὶ Ζάκυνθον φρουρεῖς δεινῶν ἐπιδρομῆς δυσμενῶν τε καὶ λοιμοῦ, τὴν ἑορτάζουσαν πόθῳ, σοῦ λειψάνου ἐπάνοδον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Δεῦτε πάντα τὰ ἔθνη θεοπρεπῶς, τὴν Μητέρα τοῦ πάντων Δημιουργοῦ ὑμνήσωμεν λέγοντες· χαῖρε θρόνε πυρίμορφε, τοῦ τῶν ὅλων δεσπόζοντος, Ἰησοῦ τοῦ Παντάνακτος· χαῖρε μόνη Κυρία τοῦ κόσμου καὶ λύτρωσις· χαῖρε τὸ δοχεῖον, τῆς Ἁγίας Τριάδος, Πατρὸς Υἱοῦ τε καὶ Πνεύματος, τὸ λαμπρὸν καὶ ἀκήρατον, Μαριὰμ ἀειπάρθενε, ἡ ἐλπὶς ἡ βεβαία μοι· χαῖρε πάνσεμνε Νύμφη ἡλιοστάλακτε· χαῖρε πάντων χαρὰ τῶν ὑμνούντων Σε..

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δὶς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. (δὶς)

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσατε πάντες οἱ κατοικοῦντες τῇ οἰκουμένῃ.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Ἡ Τάξις τοῦ Εὐαγγελίου
τοῦ Ὄρθρου

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Στίχος· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.
Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας...
Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β΄

Τερπομένη ὦ πατρίς, Διονυσίου τὸ σκῆνος δέχου, ἧκε γὰρ ἐν σοί, καὶ τὴν ἄφιξιν αὐτοῦ, λαμπρῶς ἑόρταζε.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ὅσιε τρισμάκαρ ἁγιώτατε Πάτερ, ὁ ποιμὴν ὁ καλός, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. Αὐτὸς καὶ νῦν πανεύφημε, Ἱεράρχα Διονύσιε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος..

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ^ν^)

Ἐλέει καὶ οἰκτιρμοῖς...

ΚΑΝΟΝΕΣ. Ὠδὴ α΄.

Κανὼν τῆς Θεοτόκου.

Ἦχος πλ. δ^ν^ Ὁ Εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. (Δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, Ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

ὁ Κανὼν τοῦ Ἁγίου.
ᾨδὴ α΄. Ἦχος πλ. δ΄.
Ἁρματηλάτην Φαραώ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τετολμηκὼς στέψαι σοῦ σκήνους ᾄσμασι, θείαν ἐπάνοδον, καὶ ἄμουσος ὅλος, ὑπάρχων καὶ ἄναγνος, λόγον σοφίας δώρησαι, Διονύσιε Πάτερ ἐμοί τε καὶ καθαρότητος, ὅπως ἐπαξίως ὑμνήσω σε. (Δίς)

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μετ' εὐφροσύνης ὑποδέχου σήμερον Ζακύνθου σύλλογε, ἀγλαὸν σὸν γόνον, ἥκει γὰρ ἐφέστιος, τοῖς πᾶσι τὰ χαρίσματα, διανέμων πλουσίως, ἐμφορηθέντες οὖν κράξωμεν· αἶνός σοι τρισμάκαρ Διονύσιε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀρχὴ σοφίας τὸ φοβεῖσθαι Κύριον ὁ Σολομὼν στοιχειοῖ, ἥνπερ νηπιόθεν, ὡς ἐνστερνισάμενος, ἔξω κόσμου γεγένησαι, καὶ νηστείαις σχολάζων, καὶ κακουχίαις κεκλήρωσαι, πόλιν τὴν οὐράνιον ἔνδοξε.

Δόξα.

Ὥσπερ Ἠλίας ποταμοῦ ἐξήρανας φορὰν ῥευμάτων σοφέ, καὶ ποσὶν ἀβρόχοις, ὥδευσας καὶ ὕδατος, ψεκάς σου οὐ καθήψατο, οὕτω γὰρ καὶ ἡ φύσις, ἀψύχων οἶδεν αἰδεῖσθαί σου, βίον τὸν ἰσάγγελον Ὅσιε.

Καὶ νῦν. Θεοτοκίον.

Ὑμνῆσαι ἥνπερ εὐλογοῦσι τάγματα τὰ ἐπουράνια, οὐκ ἔστι μοι θέμις, ἀλλ' ὡς ὑπάρξασα, ἐλέους ἡ γεννήτρια, σύγγνωθί μοι Παρθένε, τολμήματος καὶ παράσχου μοι, τῶν πλημμελημάτων μου ἄφεσιν.

ᾨδὴ γ΄.
Κανὼν τῆς Θεοτόκου.
Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σὺ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε. (Δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ, Θεογεννῆτορ, Παρθένε, σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου, σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν Ἰσχύϊ,

τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σὺ μοι βοήθησον, τῶν Ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Ὠδὴ γ΄.

Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λόγοις ἑπόμενος Χριστοῦ, καὶ ἴχνη τῶν προσταγμάτων, ἀνιχνεύων τῶν Αὐτοῦ ἀνηνέχθης, εἰς ἀκρώρειαν σοφέ, ἁγιωσύνης ἔνθεντοι, τῆς ἀφθαρσίας στέφει, ἐστέψατο Διονύσιε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Δέμας ἀρᾶς ἀφορισμοῦ, γυναίου εἰς κόνιν Πάτερ, διαλύσας σαῖς δεήσεσι θείαις, καὶ τὴν πλάνην διορθῶν τῶν ἰχθυοβόλων ἤλεγξας, θαύματι παραδόξου, σῆς ἄγρας ὦ Διονύσιε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σκεῦος ὁρῶν σε ἐκλογῆς, ὁ τὰς καρδίας ἐτάζων, ἐπὶ θρόνου τῆς Αἰγίνης σὲ ἦρεν, ἣν ἀρδεύσας διδαχαῖς, ἐξήνθησε τὸν πέπειρον, καρπὸν ἁγιωσύνης ἱεροφάντορ Διονύσιε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὠδὰς ἐπάγει σοὶ πατρίς, παννυχίους τρισμάκαρ, γηθομένη τεραστίοις σου ὧνπερ, ὁσημέραι δαψιλῶς, κατατρυφᾷ γεραίρουσα, ἐπάνοδον σοῦ σκήνους, τοῦ σεβασμίου πανένδοξε.

Δόξα.

Ἐκ φωτοδότιδος πηγή, τῆς ἀπροσίτου Τριάδος, φωτισμὸν σωτηριώδη ἑλκύσας, κατελάμπρυνας σαφῶς, ψυχῆς τὸ κάλλος ἔνδοξε, ὅθεν τὸν ζόφον Πάτερ, ἐμῆς καρδίας ἀπέλασον.

Καὶ νῦν. Θεοτοκίον.

Πεπωρωμένος ὀφθαλμούς, τοὺς τῆς ψυχῆς δυσωπῶ Σε, ἀποκάθαρον τῇ Σῇ μεσιτείᾳ, καὶ ἀξίωσον ἁγνῶς, διάγειν Παναγία μου, καὶ γὰρ ὡς Θεοῦ Μήτηρ, ἰσχύεις πάντα ὅσα βούλοιο.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σοφίᾳ τῶν λόγων σου, καὶ τῶν θαυμάτων φωτί, πολλοὺς κατεφώτισας, τοὺς ἐν νυκτὶ τῶν παθῶν, καὶ πλάνης ὑπάρχοντας· ἴχνεσι γὰρ τῶν θείων, Ἀποστόλων βαδίσας, τούτων τὸ ἔργον Πάτερ, ἀκριβῶς ἐμιμήσω· διό σε ἡ θεία χάρις, Κοσμᾶ ἐθαυμάστωσε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Μυρίοις βαλλόμενοι, τῇ ἐπηρείᾳ ἐχθροῦ, κινδύνοις καὶ θλίψεσι, καὶ λογισμοῖς χαλεποῖς, Παρθένε πανύμνητε, σπεύδομεν τῇ σῇ σκέπῃ, σωτηρίαν αἰτοῦντες· λύτρωσαι Θεοτόκε, τῆς αὐτῶν ἡμᾶς ζάλης, καὶ δίδου τῇ ζωῇ ἡμῶν, εἰρήνην καὶ μετάνοιαν.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῶν Ζακυνθίων εὐσεβῶς ἡ ὁμήγυρις, πανηγυρίσωμεν λαμπρῶς ἑορτάζοντες, ἐν ἐτησίοις ᾄσμασι καὶ ὕμνοις ἱεροῖς, πάνσεπτον ἐπάνοδον, τοῦ παντίμου λειψάνου, τοῦ ἐξανατείλαντος δίκην κόσμῳ ἡλίου, ὃ ἀσπασθέντες κράξωμεν θερμῶς· φωστήρων χαῖρε, φωστὴρ Διονύσιε.

Ὁ Οἶκος.

Τὴν τοῦ διδασκάλου Χριστοῦ φωνὴν ἐνωτισάμενος, ἦρες ἐπ᾽ ὤμων τὸν Σταυρὸν Αὐτοῦ, καὶ ἀκλινῶς ἐπορεύθης τὴν στενὴν καὶ τεθλιμμένην τοῦ ματαίου βίου ὁδόν, ἀποῤῥίψας ὄγκον γένους, πραγμάτων περιουσίαν, καὶ πᾶσαν ἄλλην κοσμικὴν ἡδυπάθειαν, καὶ μόνος ἐν ὄρεσιν ἐν καθαρῷ τῷ νοΐ, τῷ φύσει μόνῳ καθαρῷ Θεῷ ὁμιλῶν, ὤφθης ἀρτιφανὴς ἀστὴρ καὶ ζῶν καὶ μετὰ πότμον ἀφθαρσίᾳ δοξάσας τὸ σὸν πανσέβαστον σκῆνος ὁ Κύριος, ᾧ ἐν γῇ, καθαρῶς ἐλάτρευσας, ἐδωρήσατο τῇ σῇ πατρίδι δῶρον τιμαλφέστατον, ὃ ἀσπαζόμενοι σὺν πόθῳ κράζομεν θερμῶς· φωστήρων χαῖρε, φωστὴρ Διονύσιε.

Συναξάριον.

Τῇ ΚΔ΄ τοῦ μηνός Αὐγούστου τὴν ἀνάμνησιν ποιούμεθα τῆς ἀνακομιδῆς τοῦ σεπτοῦ Λειψάνου τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Διονυσίου, Ἀρχιεπισκὸπου Αἰγίνης, καὶ τῆς τούτου ἐκ Στροφάδων εἰς Ζάκυνθον ἐπανόδου, ἐν ἔτει 1716.

Στίχοι·

Γόνοιο βίου νῦν τυχοῦσα ἀφθάρτου,

Ζάκυνθε τέρπου, γηθοσύνως οὖν κάρτα.

Εἰκάδι ἧκε δέμας ἀκεσίμβροτον ἔν γε τετάρτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου μάρτυρος Εὐτυχοῦς, μαθητοῦ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου, καὶ τοῦ Ἁγίου Ἀποστόλου Παύλου.

Στίχοι

Ὡς εὐτυχῶς σὺ εὐτύχησας τρισμάκαρ,

Θείας τετευχὼς Εὐτυχῆ κληρουχίας.

Εἰκάδι Εὐτυχὲ ἀμφεκάλυψε λίθος γε τετάρτῃ

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου μάρτυρος Τατίωνος.

Στίχοι

Ἕλξει μετρήσας πολλὰ πολλὰ γῆς πλέθρα,

Ἐδὲμ λάβοις ἄμετρα πλέθρα, Τατίων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Γεωργίου τοῦ Λιμνιώτου.

Στίχοι

Κοινῷ τελευτῶν Γεώργιος τῷ τέλει,

Σημεῖον ἄθλου ῥῖνα τμηθεῖσαν φέρει.

Ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Καταβαίαι τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ

Ὠδὴ α'. Ἦχος πλ. δ'.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. Διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ'.

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται, τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα. Τῇ στειρευούσῃ δὲ πρῴην, Ἐκκλησία νῦν ἐξήνθησε, ξύλον Σταυροῦ,εἰς κράτος καὶ στερέωμα.

Ὠδὴ δ'.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

Ὠδὴ ε'.

Ὢ τρισμακάριστον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος' δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ϛ'.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς. Ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

Ὠδὴ ζ'.

Ἔκνοον πρόσταγμα τυράννου, δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον' ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον' ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημιουργὸν Πατέρα Θεόν, ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ

(Ἦχος πλ. δ'. )

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία. Ὠδὴ θ΄.

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. Διὸ νῦν ὑψουμένου προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον.

Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Αἰγίνης τὸν ὑπέρτατον, ποιμένα καὶ διδάσκαλον, καὶ τῆς Μονῆς τῶν Στροφάδων, προπύργιον καὶ κανόνα· Ζακύνθου τὸν ὑπέρτιμον, γόνον φρουρὸν καὶ πρύτανιν, τὸν θεῖον Διονύσιον, ἀνευφημήσωμεν ὕμνοις, τῶν φιλεόρτων χορεῖαι.

Ἕτερον.

Ἦχος γ΄

Ἀπόστολοι ἐκ περάτων.

Αἱ τάξεις τῶν Ἱερέων, καὶ ἀσκουμένων τὰ στίφη, καὶ χριστωνύμων χορεῖαι, προέλθετε τῷ τεμένει, Διονυσίου καὶ πίστει, ἀσπάσασθε θεῖον σκῆνος.

Θεοτοκίον. Ὅμοιον

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

ΑΙΝΟΙ . Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Εἶτα Ἱστῶμεν στίχους δ΄

καὶ ψάλλομεν

τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰγινητῶν αἱ χορεῖαι καὶ Ζακυνθίων πληθύς, ἅμα Πατέρων στίφη, τοῦ σεμνείου Στροφάδων, συμφώνως ἀθροισθέντες ᾠδαῖς ἱεραῖς, τὴν μετάθεσιν μέλπομεν, σοῦ πανιέρου λειψάνου ἀρτιφανές, ἀστὴρ θεῖε Διονύσιε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Χαῖρε καὶ σκίρτα αἰσίως πατρίς μοι Ζάκυνθος, χαρᾷ ἀνεκλαλήτῳ, καὶ γὰρ ἤρθης εἰς ὕψος, οὐράνιον πλουτοῦσα σοῦ γόνου λαμπροῦ, θαυματόβρυτον λείψανον, Διονυσίου τοῦ θείου δι' οὗ τῶν δεινῶν, καθ' ἑκάστην ἐκλυτρούμεθα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὡς τῇ οὐσίᾳ ὑπάρχων διπλοῦς τῷ πνεύματι, τὸν οὐρανὸν εὐφραίνεις, τὴν δὲ γῆν ἁγιάζεις, τῷ θείῳ σου λειψάνῳ ὃ εὐλαβῶς, οἱ πιστοὶ ἀσπαζόμενοι, ῥῶσιν κατ' ἄμφω λαμβάνομεν παρ' αὐτοῦ, ὦ Ἱεράρχα Διονύσιε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἀβρυνομένη ἐκφράζει Κερκύρᾳ Ζάκυνθος, καὶ τῇ Κεφαλληνίᾳ, ταῖς λαχούσαις λειψάνων, τῇ μὲν τοῦ Γερασίμου ἀρτιφανοῦς, τῇ δὲ θείου Σπυρίδωνος· ἐμόν ἐστι τὸ κλέος γόνος μου γάρ, ἦν ὁ μύστης Διονύσιος.

Δόξα. Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, κροτήσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν εὐφραινόμενοι, τῇ τοῦ Λειψάνου μεταθέσει, τοῦ μυστηπόλου Πατρός. Ἱερεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸ πανσέβαστον σκῆνος ἀράμενοι, τὴν πόλιν περιέλθωμεν, καὶ δέει πολλῷ κατασπαζόμενοι ἐν εὐσήμῳ γλώττῃ, πνευματικῶς ἀνευφημήσωμεν. Ποιμένες καὶ διδάσκαλοι, τὸν τοῦ Ἀρχιποίμενος σεμνότατον Ποιμένα, ὁμοφρόνως ἀνυμνήσωμεν· οἱ νοσοῦντες τὸν ἰατρόν, οἱ ἐν συμφοραῖς τὴν παραμυθίαν, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ ἐνδεεῖς τὸν πορισμόν, οἱ Ἱερεῖς τὸν ποιμένα, οἱ μονότροποι τὴν βακτηρίαν, οἱ πλέοντες τὸν κυβερνήτην, οἱ πάντες τὸν πάντα τοῖς πᾶσι γινόμενον, πάνσεπτον Ἱεράρχην ἐγκωμιάζοντες πιστῶς εἴπωμεν· πανάγιε Διονύσιε, πάρεσο μέσῳ ἡμῶν των σὲ ἐπικαλουμένων, καὶ φρούρει σὴν Ζάκυνθον, ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν, ἡ παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν, Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρίν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα· Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος, ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν, τὴν Λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον Νεφέλην, τὴν τῶν οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε Κιβωτόν, τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον, τὴν μανναδόχον χρυσέαν Στάμνον, τὴν κεκλεισμένην τοῦ Λόγου πύλην, τὴν

πάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς οὐρανῶν Βασιλείας· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Ἢ ἕτερον Θεοτοκίον

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη.

Ἦχος πλ. α΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,
Ἅγιος Ἰσχυρός,
Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Δεῦτε πάνταις ἐν ᾠδαῖς εὐφημήσωμεν, τὴν τοῦ πανιέρου λειψάνου Διονύσιου τοῦ μάκαρος, ἐπάνοδον· καὶ γὰρ οἷα φωστήρ, δύνας θεσμοῖς τοῖς φυσικοῖς, ὑπὸ γῆν αὖθις τῷ κόσμῳ, ἀγλαῶς ἐξανέτειλε. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ χορηγοῦντί σοι διδόναι πᾶσι δαψιλῶς, θαυμάτων τὰ σελαγίσματα.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
ΑΝΤΙΦΩΝΑ

Ἀντίφωνον Α΄. Ἦχος β΄.

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος α΄.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Δεῦτε πάνταις ἐν ᾠδαῖς εὐφημήσωμεν, τὴν τοῦ πανιέρου λειψάνου Διονύσιου τοῦ μάκαρος, ἐπάνοδον· καὶ γὰρ οἷα φωστήρ, δύνας θεσμοῖς τοῖς φυσικοῖς, ὑπὸ γῆν αὖθις τῷ κόσμῳ, ἀγλαῶς ἐξανέτειλε. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ χορηγοῦντί σοι διδόναι πᾶσι δαψιλῶς, θαυμάτων τὰ σελαγίσματα.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Δεῦτε πάνταις ἐν ᾠδαῖς εὐφημήσωμεν, τὴν τοῦ πανιέρου λειψάνου Διονύσιου τοῦ μάκαρος, ἐπάνοδον· καὶ γὰρ οἷα φωστήρ, δύνας θεσμοῖς τοῖς φυσικοῖς, ὑπὸ γῆν αὖθις τῷ κόσμῳ, ἀγλαῶς ἐξανέτειλε. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ χορηγοῦντί σοι διδόναι πᾶσι δαψιλῶς, θαυμάτων τὰ σελαγίσματα.

Μικρὰ Εἴσοδος.Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, (ὁ β΄ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Δεῦτε πάνταις ἐν ᾠδαῖς εὐφημήσωμεν, τὴν τοῦ πανιέρου λειψάνου Διονύσιου τοῦ μάκαρος, ἐπάνοδον· καὶ γὰρ οἷα φωστήρ, δύνας θεσμοῖς τοῖς φυσικοῖς, ὑπὸ γῆν αὖθις τῷ κόσμῳ, ἀγλαῶς ἐξανέτειλε. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ χορηγοῦντί σοι διδόναι πᾶσι δαψιλῶς, θαυμάτων τὰ σελαγίσματα.

Ἕτερον. Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος.

Τῆς Ζακύνθου τὸν γόνον καὶ Αἰγίνης τὸν πρόεδρον, τὸν φρουρὸν Μονῆς τῶν Στροφάδων, Διονύσιον ἅπαντες, τιμήσωμεν συμφώνως οἱ πιστοί, βοῶντες πρὸς αὐτὸν εἰλικρινῶς· σαῖς λιταῖς τοὺς τὴν σὴν μνήμην ἐπιτελοῦντας, σῷζε καὶ βοῶντάς σοι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, πρέσβυν ἀκοίμητον.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος Δ΄

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν, Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.(γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

## ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

*Προκείμενον. Ἦχος α΄.*

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν·

*Στίχ.* Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. 7:26-28, 8:1-2

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

Ἀλληλούϊα. *(γ΄) Ἦχος β΄.*

Στόμα δικαίου μελετήσει σοφίαν

*Στίχ.* Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ.

## ΕΥΑΓΓΕΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

*Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου*

*Εἰς τό Ἐξαιρέτως*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*Κοινωνικὸν*

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

*ἦχος β΄*

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ

ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β´

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.